# Apolytikion and Kontakion Hymns

# December 27th, 2020

**Resurrectional Apolytikion in the Fourth Tone**
When the women Disciples of the Lord had learned from the Angel the joyful message of the Resurrection and rejected the ancestral decision, they cried aloud to the Apostles triumphantly: Death has been despoiled, Christ God has risen, granting His great mercy to the world.
Τὸ φαιδρὸν τῆς Ἀναστάσεως κήρυγμα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου Μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀπορρίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι ἔλεγον· Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεός, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

**Apolytikion for the Feast**
Your nativity, O Christ our God, has caused the light of knowledge to rise upon the world. For therein the worshippers of the stars were by a star instructed to worship You, the Sun of Righteousness, and to know You as Orient from on high. Glory to You, O Lord.
**Ἡ Γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀνέτειλε τῷ κόσμῳ τὸ φῶς τὸ τῆς γνώσεως· ἐν αὐτῇ γὰρ οἱ τοῖς ἄστροις λατρεύοντες, ὑπὸ ἀστέρος ἐδιδάσκοντο, σὲ προσκυνεῖν, τὸν Ἥλιον τῆς δικαιοσύνης, καὶ σὲ γινώσκειν ἐξ ὕψους ἀνατολήν. Κύριε δόξα σοι.**

**For the Ancestors of God**
Annunciate the miracles to David the ancestor of God, O Joseph. You saw the Virgin pregnant. You glorified with the shepherds. You worshipped with the Magi. And you were warned by an Angel. Entreat Christ God to save our souls.
Εὐαγγελίζου Ἰωσήφ, τῷ Δαυῒδ τὰ θαύματα τῷ  Θεοπάτορι· Παρθένον εἶδες κυοφορήσασαν, μετὰ Μάγων προσεκύνησας, μετὰ Ποιμένων ἐδοξολόγησας, δι' Ἀγγέλου χρηματισθείς.Ἱκέτευε Χριστὸν τὸν Θεόν, σωθῆναι τὰςψυχὰς ἡμῶν.

**Apolytikion for the Protomartyr**
O Stephen, a crown of royalty was laid on your head for contests you courageously endured for Christ our God, as first among Martyr saints. You stood in accusation of the raging Judeans; and you saw your Savior at the right hand of the Father. We pray that you will ever entreat Him to save our souls.
Βασίλειον διάδημα, ἐστέφθη σὴ κορυφή, ἐξ ἄθλων ὧν ὑπέμεινας, ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, μαρτύρων Πρωτόαθλε· σὺ γὰρ τὴν Ἰουδαίων ἀπελέγξας μανίαν, εἶδές σου τὸν Σωτῆρα, τοῦ Πατρὸς δεξιόθεν. Αὐτὸν οὖν ἐκδυσώπει ἀεί, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Apolytikion of St. Katherine**
Let us sing the praise of the Bride of Christ renown, the Patroness of Sinai, Katherine Divine. Our assistance and protection, for she has brilliantly subdued, the impious refine, by the power of the Spirit. She was crowned as a martyr of the Lord, and for all, she entreats the great mercy.
Τὴν πανεύφημον νύμφην Χριστοῦ ὑμνήσωμεν, Αἰκατερῖναν τὴν θείαν καὶ πολιοῦχον Σινᾶ, τὴν βοήθειαν ἡμῶν καὶ ἀντίληψιν, ὅτι ἐφίμωσε λαμπρῶς, τοὺς κομψοὺς τῶν ἀσεβῶν, τοῦ Πνεύματος τῇ μαχαίρᾳ, καὶ νῦν ὡς Μάρτυς στεφθεῖσα, αἰτεῖται πᾶσι τὸ μέγα ἔλεος.

**Kontakion**
On this day the Virgin gives birth to the Super-essential. To the Unapproachable, earth is providing the grotto. Angels sing and with the shepherds offer up glory. Following a star the Magi are still proceeding.He was born for our salvation, a newborn Child, the pre-eternal God.
Ἡ Παρθένος σήμερον, τὸν ὑπερούσιον τίκτει, καὶ ἡ γῆ τὸ Σπήλαιον, τῷ ἀπροσίτῳ προσάγει. Ἄγγελοι μετὰ Ποιμένων δοξολογοῦσι. Μάγοι δὲ μετὰ ἀστέρος ὁδοιποροῦσι· δι' ἡμᾶς γὰρ ἐγεννήθη, Παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.